Concours EfA 2008

Epreuves de langue grecque

Mode de désignation des prêtrises

τῆς δ' ὑπὸ Ῥωμύλου καταστασθείσης πολιτείας καὶ τάδε ἡγησάμην ἱστορίας ἄξια· πρῶτον μέν, ὅτι πολλοῖς σώμασιν ἀπέδωκε θεραπεύειν τὸ δαιμόνιον. ἐν γοῦν ἄλλῃ πόλει νεοκτίστῳ τοσούτους ἱερεῖς τε καὶ θεραπευτὰς θεῶν εὐθὺς ἀποδειχθέντας οὐδεὶς ἂν εἰπεῖν ἔχοι. χωρὶς γὰρ τῶν ἐχόντων τὰς συγγενικὰς ἱερωσύνας οἱ τὰ κοινὰ περὶ τῆς πόλεως ἱερὰ συντελοῦντες κατὰ φυλάς τε καὶ φράτρας ἑξήκοντα κατεστάθησαν ἐπὶ τῆς ἐκείνου ἀρχῆς·

[...]

ἔπειτα, ὅτι τῶν ἄλλων φαύλως πως καὶ ἀπερισκέπτως ὡς ἐπὶ τὸ πολὺ ποιουμένων τὰς αἱρέσεις τῶν ἐπιστησομένων τοῖς ἱεροῖς καὶ τῶν μὲν ἀργυρίου τὸ τίμιον ἀξιούντων ἀποκηρύττειν, τῶν δὲ κλήρῳ διαιρούντων, ἐκεῖνος οὔτε ὠνητὰς χρημάτων ἐποίησε τὰς ἱερωσύνας οὔτε κλήρῳ μεριστάς, ἀλλ' ἐξ ἑκάστης φράτρας ἐνομοθέτησεν ἀποδείκνυσθαι δύο τοὺς ὑπὲρ πεντήκοντα ἔτη γεγονότας γένει τε προὔχοντας τῶν ἄλλων καὶ ἀρετῇ διαφόρους καὶ χρημάτων περιουσίαν ἔχοντας ἀρκοῦσαν καὶ μηδὲν ἠλαττωμένους τῶν περὶ τὸ σῶμα· τούτους δὲ οὐκ εἰς ὡρισμένον τινὰ χρόνον τὰς τιμὰς ἔταξεν ἔχειν, ἀλλὰ διὰ παντὸς τοῦ βίου, στρατειῶν μὲν ἀπολελυμένους διὰ τὴν ἡλικίαν, τῶν δὲ κατὰ τὴν πόλιν ὀχληρῶν διὰ τὸν νόμον.

[---]

ἐκ τῶν Ἑλληνικῶν νόμων καὶ ταῦτα μετενεγκάμενος, ὡς ἐγὼ πείθομαι.

Denys d'Halicarnasse, II, 21.

PERGAME. RÈGLEMENT RELATIF A LA PRÊTRISE D'ASCLÉPIOS. AVANT 133 AV. J.-C.

[Collationnement.]

Ἐπὶ πρυτάνεως Καβείρου, μηνὸς Παυθείου
εἰκάδι, ἔγνω βουλὴ καὶ δῆμος, γνώμηι
στρατηγῶν, περὶ τῆς ἱερωσύνης τοῦ Ἀσκληπι[οῦ],
ὅπως ὑπάρχηι εἰς τὸν ἅπαντα χρόνον
5 Ἀσκληπιάδηι καὶ τοῖς ἀπογόνοις τοῖς
Ἀσκληπιάδου. Τύχηι τῆι Ἀγαθῆι, δεδόχθαι
τῆι βουλῆι καὶ τῶι δήμωι· τὴν μὲν ἱερωσύνην
τοῦ Ἀσκληπιοῦ καὶ τῶν ἄλλων θεῶν τῶν ἐν τῶι
Ἀσκληπιείωι ἱδρυμένων εἶναι Ἀσκληπιάδου
10 τοῦ Ἀ[ρχί]ου καὶ τῶν ἀπογόνων τῶν Ἀσκληπιάδου
εἰς ἅπα[ντ]α [τ]ὸν χρόνον, καὶ στεφανηφορεῖν αὐτῶν
ἀεὶ τὸν ἔχοντα τὴν ἱερωσύνην· λαμβάνειν δὲ
καὶ γέρα τῶν θυομένων ἱερείων ἐν τῶι ἱερῶι
πάντων, σκέλος δεξιὸν καὶ τὰ δέρματα καὶ τἄλλα
15 τραπεζώματα πάντα τὰ παρατιθέμενα
[τοῖς θ]ε[οῖς· [...]

[εἶναι δ]ὲ καὶ ἀτέλειαν Ἀσκληπιάδηι πάντων
20 [ὧν] ἡ πόλις κυρία, καὶ εἰς τὸ λοιπὸν
ἀεὶ τῶι τὸν στέφανον ἔχοντι, ἀναγορεύεσθαι δ[ὲ]
εἰς προεδρίαν τὸν ἱερέα ἐν ἅπασι τοῖς ἀγῶσιν·
ἐπιμελεῖσθαι δὲ καὶ τῆς εὐκοσμίας τῆς κατὰ τὸ ἱερ[ὸν]
πάσης τὸν ἱερέα ὡς ἂν αὐτῶι δοκῆ[ι]
25 καλῶς ἔχειν καὶ ὁσίως, κυριεύοντα τῶν ἱερῶν παίδων·
ὅπως δὲ ταῦτα εἰς τὸν ἅπαντα χρόνον διαμένηι
βέβαια Ἀσκληπιάδηι καὶ τοῖς ἀπογόνοις τοῖς
Ἀσκληπιάδου, ἐπιτελεῖν ὁρκωμόσιον τὴν πόλιν
ἐν τῆι ἀγορᾶι ἐπὶ τοῦ Διὸς τοῦ Σωτῆρος τῶι βωμῶι
30 καὶ ὀμόσαι τὰς τιμουχίας, ἢ μὴν ἐμμενεῖν ἐν οἷς
ἐψήφισται ἡ πόλις Ἀσκληπιάδηι καὶ τοῖς ἀπογόνοις
τοῖς Ἀσκληπιάδου· τοὺς δὲ στρατηγοὺς τοὺς ἐπ[ὶ]
Καβείρου πρυτάνεως ἐπιμεληθῆναι ὅπως
συντελεσθῇ ὁ ὅρκος καθάπερ γέγραπται.
35 ἀναγράψαι δὲ αὐτοὺς καὶ τὸ ψήφισμα τόδ[ε]
εἰς στήλας λιθίνας τρεῖς καὶ στῆσαι αὐτῶν·
μίαν μὲν ἐν τῶι ἱερῶι τοῦ Ἀσκληπιοῦ ἐμ Περγάμῳ,
ἄλλην δὲ ἐν τῶι ἱερῶι τῆς Ἀθηνᾶς ἐν ἀκροπόλε[ι],
τὴν δὲ τρίτην ἐμ Μυτιλήνηι ἐν τῶι ἱερῶι τοῦ
40 [Ἀσκλ]ηπιοῦ. ἐγγράψαι δὲ καὶ εἰς τοὺς νόμους
[τοὺς τ]ῆς πόλεως τὸ ψήφισμα τόδε, καὶ
[χρήσθω]σαν αὐτῶι νόμωι κυρίωι εἰς ἅπαντα τὸν χρόνον.

Concours EfA 2008

Epreuves de langue grecque

L'organisation des concours dans le monde grec

1373. Ilion. Honorar

B.C. Marble stele, found so
M.Tombul, *EA* 36 (2003) 1
(2004) 91-94; P.Gauthier, *E*

Ἐπὶ ἀγωνο[
δου Ἰλιέα,
κλείδην Ἀπ
4 του Ῥοιτέα,
τος Φαίδρου
γάλοις, ἐκκο
έδρων· ἐ[π]ε
8 θληταὶ καὶ τ
[γ]υριν πλείο
[τ]ι Ἀντικλῆ
[ξ]ίαν τῆς φι
12 τοῖς μεγάλου
τοὺς καλοὺς
ξήσωσιν εἰς
δοξίας τ[ῆ]ς ι
16 λειαμ πεποιη
χίαν ὡς ἐνδ[έ
[τ]ὴν ἀρχὴν [
αποστει[λά]σ
20 [τ]ὴμ πανή[γυ
τατον κα[ὶ κ]
παινον καὶ [.
[π]άνη[ς] οὐδ
24 [μίας] οὐθὲν ἐ
[δῆμ]ον τὸν Λ

[ων τ]ῶγ κοινω
[τεῖλα]ι ἄνδρα
28 [αρχο]ν Ἀντικ
[στεφ]άνωι καὶ
[σεω]ς καὶ τοῦ
[έδρο]ις δόξηι,
32 [σίαρ]χον Ἀντ
[χ]ρ[υ]σῶ[ι κ]α
[τ]ὴ[ν] ἀναγόρε
[γῶν]ι τῶ[ι] γυμ

Κληροῦσι δὲ καὶ ἀθλοθέτας δέκα ἄνδρας, ἕνα τῆς φυλῆς ἑκάστης. Οὗτοι δὲ δοκιμασθέντες ἄρχουσι πέτταρα ἔτη, καὶ διοικοῦσι τήν τε πομπὴν τῶν Παναθηναίων καὶ τὸν ἀγῶνα τῆς μουσικῆς καὶ τὸν γυμνικὸν ἀγῶνα καὶ τὴν ἱπποδρομίαν, καὶ τὸν πέπλον ποιοῦνται, καὶ τοὺς ἀμφορεῖς ποιοῦνται μετὰ τῆς βουλῆς, καὶ τὸ ἔλαιον τοῖς ἀθληταῖς ἀποδιδόασι. 2 Συλλέγεται δὲ τὸ ἔλαιον ἀπὸ τῶν μοριῶν· εἰσπράττει δὲ τοὺς τὰ χωρία κεκτημένους ἐν οἷς αἱ μορίαι εἰσὶν ὁ ἄρχων, τρὶ ἡμικοτύλια ἀπὸ τοῦ στελέχους ἑκάστου. Πρότερον δ' ἐπώλει τὸν καρπὸν ἡ πόλις· καὶ εἴ τις ἐξορύξειεν ἐλαίαν μορίαν ἢ κατάξειεν, ἔκρινεν ἡ ἐξ Ἀρείου πάγου βουλή, καὶ εἴ του καταγνοίη, θανάτῳ τοῦτον ἐζημίουν. Ἐξ οὗ δὲ τὸ ἔλαιον ὁ τὸ χωρίον κε‖κτημένος ἀποτίνει, ὁ μὲν νόμος ἔστιν, ἡ δὲ κρίσις καταλέλυται. Τὸ δὲ ἔλαιον ἐκ τοῦ κτήματος, οὐκ ἀπὸ τῶν στελεχῶν ἐστι τῇ πόλει. 3 Συλλέξας οὖν ὁ ἄρχων τὸ ἐφ' ἑαυτοῦ γιγνόμενον τοῖς ταμίαις παραδίδωσιν εἰς ἀκρόπολιν, καὶ οὐκ ἔστιν ἀναβῆναι πρότερον εἰς Ἄρειον πάγον, πρὶν ἂν ἅπαν παραδῷ τοῖς ταμίαις. Οἱ δὲ ταμίαι τὸν μὲν ἄλλον χρόνον τηροῦσιν ἐν ἀκροπόλει, τοῖς δὲ Παναθηναίοις ἀπομετροῦσι τοῖς ἀθλοθέταις, οἱ δ' ἀθλοθέται τοῖς νικῶσι τῶν ἀγωνιστῶν. Ἔστι γὰρ ἆθλα τοῖς μὲν τὴν μουσικὴν νικῶσιν ἀργύριον καὶ χρυσία, τοῖς δὲ τὴν εὐανδρίαν ἀσπίδες, τοῖς δὲ τὸν γυμνικὸν ἀγῶνα καὶ τὴν ἱπποδρομίαν ἔλαιον.

conduisent

REGLEMENTATIONS RELATIVES AUX FUNERAILLES PRIVEES

PLUTARQUE

1. — *Moralia*, 238 d

Τῶν δὲ ταφῶν ἀνεῖλε τὴν δεισιδαιμονίαν ἅπασαν ὁ Λυκοῦργος, ἐν τῇ πόλει θάπτειν τοὺς νεκροὺς καὶ πλησίον ἔχειν τὰ μνημεῖα τῶν ἱερῶν συγχωρήσας. Περιεῖλε δὲ καὶ τοὺς μιασμούς, συνθάπτειν δ' οὐδὲν ἐπέτρεψεν, ἀλλ' ἐν φοινικίδι καὶ φύλλοις ἐλαίας θέντας τὸ σῶμα περιστέλλειν κατ' ἴσον ἅπαντας. Ἀνεῖλε καὶ τὰς ἐπιγραφὰς τὰς ἐπὶ τῶν μνημείων, πλὴν τῶν ἐν πολέμῳ τελευτησάντων, καὶ τὰ πένθη καὶ τοὺς ὀδυρμούς.

2. — *Vie de Lycurgue*, 27

27 — 1 Καὶ μὴν καὶ τὰ περὶ τὰς ταφὰς ἄριστα διεκόσμησεν[1] αὐτοῖς[2]. Πρῶτον μὲν γὰρ ἀνελὼν δεισιδαιμονίαν ἅπασαν ἐν τῇ πόλει θάπτειν τοὺς νεκρούς, καὶ πλησίον ἔχειν τὰ μνήματα τῶν ἱερῶν οὐκ ἐκώλυσε, συντρόφους ποιῶν ταῖς τοιαύταις ὄψεσι καὶ συνήθεις τοὺς νέους, ὥστε μὴ ταράττεσθαι μηδ' ὀρρωδεῖν τὸν θάνατον ὡς μιαίνοντα τοὺς ἁψαμένους νεκροῦ σώματος ἢ διὰ τάφων διελθόντας. 2 Ἔπειτα συνθάπτειν οὐδὲν εἴασεν, ἀλλὰ ἐν φοινικίδι καὶ φύλλοις ἐλαίας θέντες τὸ σῶμα περιέστελλον. 3 Ἐπιγράψαι δὲ τοὔνομα θάψαντας οὐκ ἐξῆν τοῦ νεκροῦ, πλὴν ἀνδρὸς ἐν πολέμῳ καὶ γυναικὸς [τῶν] λεχοῦς ἀποθανόντων. 4 Χρόνον δὲ πένθους ὀλίγον προσώρισεν, ἡμέρας ἕνδεκα· τῇ δὲ δωδεκάτῃ θύσαντας ἔδει Δήμητρι λύειν τὸ πένθος.

3. — *Vie de Solon*, 12.8

Καὶ γὰρ εὐσταλεῖς ἐποίησε[3] ταῖς ἱερουργίαις καὶ περὶ τὰ πένθη πρᾳοτέρους, θυσίας τινὰς εὐθὺς ἀναμίξας πρὸς τὰ κήδη, καὶ τὸ σκληρὸν ἀφελὼν καὶ τὸ βαρβαρικόν, ᾧ συνείχοντο πρότερον αἱ πλεῖσται γυναῖκες. (...) Ἐναγίζειν δὲ βοῦν οὐκ εἴασεν, οὐδὲ συντιθέναι πλέον ἱματίων τριῶν, οὐδ' ἐπ' ἀλλότρια μνήματα βαδίζειν χωρὶς ἐκκομιδῆς. 7 Ὧν τὰ πλεῖστα κἀν τοῖς ἡμετέροις νόμοις ἀπηγόρευται.

---

[1] Sujet : Lycurgue.
[2] Désigne "ses concitoyens".
[3] Sujet : Solon. — A pour complément non exprimé τοὺς Ἀθηναίους.

Décret de la cité de Gambreion règlementant les funérailles

Ἀγαθῆι τύχηι. Ἱερονομοῦντος
Δημητρίου, μηνὸς Θαργηλιῶνος
δευτέραι, Ἀλέξων Δάμωνος εἶ-
4 πεν· νόμον εἶναι Γαμβρειώταις
τὰς πενθούσας ἔχειν φαίαν ἐσθ[ῆ]-
τα μὴ κατερρυπωμένην· χρῆσθαι
δὲ καὶ τοὺς ἄνδρας καὶ τοὺς παῖδας
8 τοὺς πενθοῦντας ἐσθῆτι φαιᾶι,
ἐὰμ μὴ βούλωνται λευκῆι. Ἐπιτε-
λεῖν τὰ νόμιμα τοῖς ἀποιχομέ-
νοις ἔσχατον ἐν τρισὶ μησίν, τῷ δ[ὲ]
12 τετάρτῳ λύειν τὰ πένθη τοὺς ἄν-
δρας, τὰς δὲ γυναῖκας τῷ πέμπτῳ,
καὶ ἐξανίστασθαι ἐκ τῆς κηδείας
καὶ ἐμπορεύεσθαι τὰς γυναῖκας ἤδ[η]
16 τὰς ἐξόδους τὰς ἐν τῶι νόμωι γε-
γραμμένας ἐπάναγκον. Τὸν δὲ γυ-
ναικονόμον τὸν ὑπὸ τοῦ δήμου αἱ-
ρούμενον τοῖς ἁγισμοῖς τοῖς πρὸ
20 τῶν Θεσμοφορίων ἐπεύχεσθαι τοῖς ἐμ-
μένουσιν καὶ ταῖς πειθομέναις τῶι-
δὲ νόμωι εὖ εἶναι καὶ τῶν ὑπαρχόν-
των ἀγαθῶν ὄνησιν, τοῖς δὲ μὴ πειθο-
24 μένοις μηδὲ ταῖς ἐμμενούσαις τἀ-
ναντία· καὶ μὴ ὅσιον αὐταῖς εἶναι, ὡ(ς)
ἀσεβούσαις, θύειν μηθενὶ θεῶν ἐπὶ δέ-
κα ἔτη. Τὸν μετὰ Δημήτριον
28 στεφανηφόρον ταμίαν αἱρεθέντα
ἀναγράψαι τόνδε τὸν νόμον εἰς δύο
στήλας καὶ ἀναθεῖναι τὴμ μέν
μίαν πρὸ τῶν θυρῶν τοῦ Θεσμοφο-
32 ρίου, τὴν δὲ πρὸ τοῦ νεὼ τῆς Ἀρτέ-
μιδος τῆς Λοχίας· ἀνενεικάτω
δὲ ὁ ταμίας τὸ ἀνάλωμα τὸ γε-
νόμενον εἰς ταστήλας τῷ
36 πρώτῳ λογιστηρίῳ.

ATHENES ET LA COLONISATION

1. — La colonisation athénienne vue par Isocrate

Panégyrique, §§ 34-37

Περὶ δὲ τοὺς αὐτοὺς χρόνους ὁρῶσα τοὺς μὲν βαρβάρους τὴν πλείστην τῆς χώρας κατέχοντας, τοὺς δ' Ἕλληνας εἰς μικρὸν τόπον κατακεκλειμένους καὶ διὰ σπανιότητα τῆς γῆς ἐπιβουλεύοντάς τε σφίσιν αὐτοῖς καὶ στρατείας ἐπ' ἀλλήλους ποιουμένους, καὶ τοὺς μὲν δι' ἔνδειαν τῶν καθ' ἡμέραν, τοὺς δὲ διὰ τὸν πόλεμον ἀπολλυμένους, 35 οὐδὲ ταῦθ' οὕτως ἔχοντα περιεῖδεν, ἀλλ' ἡγεμόνας εἰς τὰς πόλεις ἐξέπεμψεν, οἳ παραλαβόντες τοὺς μάλιστα βίου δεομένους, στρατηγοὶ καταστάντες αὐτῶν καὶ πολέμῳ κρατήσαντες τοὺς βαρβάρους, πολλὰς μὲν ἐφ' ἑκατέρας τῆς ἠπείρου πόλεις ἔκτισαν, ἁπάσας δὲ τὰς νήσους κατῴκισαν, ἀμφοτέρους δὲ καὶ τοὺς ἀκολουθήσαντας καὶ τοὺς ὑπομείναντας ἔσωσαν· 36 τοῖς μὲν γὰρ ἱκανὴν τὴν οἴκοι χώραν κατέλιπον, τοῖς δὲ πλείω τῆς ὑπαρχούσης ἐπόρισαν· ἅπαντα γὰρ περιεβάλοντο τὸν τόπον ὃν νῦν τυγχάνομεν κατέχοντες. Ὥστε καὶ τοῖς ὕστερον βουληθεῖσιν ἀποικίσαι τινὰς καὶ μιμήσασθαι τὴν πόλιν τὴν ἡμετέραν πολλὴν ῥᾳστώνην ἐποίησαν· οὐ γὰρ αὐτοὺς ἔδει κτωμένους χώραν διακινδυνεύειν, | ἀλλ' εἰς τὴν ὑφ' ἡμῶν ἀφορισθεῖσαν, εἰς ταύτην οἰκεῖν ἰόντας. 37 Καίτοι τίς ἂν ταύτης ἡγεμονίαν ἐπιδείξειεν ἢ πατριωτέραν τῆς πρότερον γενομένης πρὶν τὰς πλείστας οἰκισθῆναι τῶν Ἑλληνίδων πόλεων, ἢ μᾶλλον συμφέρουσαν τῆς τοὺς μὲν βαρβάρους ἀναστάτους ποιησάσης, τοὺς δ' Ἕλληνας εἰς τοσαύτην εὐπορίαν προαγαγούσης ;

2. — Athènes envoie des colons sur le site de Bréa

30–35 *lines missing*

A (face)

.....ε πρὸς *hὲν* ἂν φα[ίνει ἔ]
[γράφεται, ἐσ]αγέτο. ἐὰν δὲ ἐσάγει ἐνεχ[..5...]
[...7....] *ho* φένας ἔ *ho* γραφσάμενος. πο[..5...]
[...6...]ν αὐτοῖς παρασχόντον *hoi* ἀπ[οικιστ]-
5 [αὶ καλλ]ιερῆσαι *hυπὲρ* τῆς ἀποικίας, [*ho*πόσα]
[ἂν αὐτο]ῖς δοκῆι. γεονόμος δὲ *he*λέσθ[αι δέκα]
[ἄνδρας,] ἕνα ἐχ φυλῆς· *ho*ῦτοι δὲ νεμάντ[ον τὲν]
[γῆν. Δεμ]οκλείδεν δὲ καταστῆσαι τὲν ἀ[ποικί]-
[αν αὐτο]κράτορα, καθότι ἂν δύνεται ἄ[ριστα. τ]-
10 [ὰ δὲ τεμ]ένε τὰ ἐχσειρεμένα ἐᾶν καθά[περ ἐστ]-
[ί, καὶ ἄλ]λα μὲ τεμενίζεν. βοῦν δὲ καὶ π[ανhοπλ]-
[ίαν ἀπά]γεν ἐς Παναθέναια τὰ μεγάλ[α καὶ ἐς Δ]-
[ιονύσι]α φαλλόν. ἐὰν δέ τις ἐπιστρα[τεύει ἐπ]-
[ὶ τὲν γῆ]ν τὲν τὸν ἀποίκον, βοεθῆν τὰ[ς πόλες *h*]-
15 [ος ὀχσύ]τατα κατὰ τὰς χσυγγραφὰς *h*ᾳ[ὶ ἐπὶ..]
[...6...]το γραμματεύοντος ἐγένον[το περὶ τ]-
[ὸν πόλε]ον τὸν ἐπὶ Θράικες. γράφσαι δ[ὲ ταῦτα]
[ἐν στέλ]ει καὶ καταθῆναι ἐμ πόλει· πα[ρασχόν]-
[τον δὲ τ]ὲν στέλεν *hoi* ἄποικοι σφῶν α[ὐτῶν τέ]-
20 [λεσιν. ἐ]ὰν δέ τις ἐπιφσεφίζει παρὰ τὲ[ν στέλ]-
[εν ἔ ῥρέ]τορ ἀγορεύει ἔ προσκαλῆσθα[ι ἐγχερ]-
[εῖ ἀφαι]ρῆσθαι ἔ λύεν τι τὸν *he*φσεφι[σμένον],
[ἄτιμον] ἦναι αὐτὸν καὶ παῖδας τὸς ἐχς [ἐκένο]
[καὶ τὰ χ]ρέματα δεμόσια ἦναι καὶ τῆς [θεῶ τὸ ἐ]-
25 [πιδέκα]τον, ἐὰμ μέ τι αὐτοὶ *hoi* ἄποικ[οι....]
[....δέ]ονται: :*h*όσοι δ' ἂν γράφσοντα[ι ἐποικ]-
[έσεν τῶ]ν στρατιοτῶν, ἐπειδὰν *he*κόσ[ι Ἀθένα]-
[ζε, τριά]κοντα ἑμερῶν ἐμ Βρέαι ἦναι ἐπ[οικέσ]-
[οντας. ἐ]χσάγεν δὲ τὲν ἀποικίαν τριάκ[οντα ἔ]-
30 [μερῶν. Α]ἰσχίνεν δὲ ἀκολουθῶντα ἀπο[διδόνα]-
[ι τὰ χρέ]ματα. *vacat*

B (side)

[Φ]αντοκλῆς εἶπε· περὶ
[μ]ὲν τῆς ἐς Βρέαν ἀποι-
[κ]ίας καθάπερ Δεμοκλ-
35 [ε]ίδες εἶπε· Φαντοκλέ-
[α] δὲ προσαγαγῆν τὲν Ἐ-
[ρ]εχθεῖδα πρυτανεία-
[ν] πρὸς τὲν βολὲν ἐν τῆ-
[ι] πρότει *he*δραι· ἐς δὲ
40 [Β]ρέαν ἐχ θετῶν καὶ ζε-
[υ]γιτῶν ἰέναι τὸς ἀπο-
[ί]κος.

l. 1: *he* δὲ ἀρχ]έ Wilhelm. ll. 2–3 ἐνέχ[υρα ἄχ|σια θέτο] *ho* φένας Wilhelm; ἐνεχ[υραζέ|το αὐτόν] *IG* i². ll. 3–4: We prefer Meritt's πό[ρον δ' ἐ|ς θυσία]ν to π⟨ρ⟩ό[βατα ἐ|ς θυσία]ν which Wilhelm proposed in place of πο[ίμνια | δὲ αἰγῶ]ν (*IG* i²). l. 15: We prefer ἐπὶ..|.....]το γραμματεύοντος (with name only of secretary) to ἐπὶ..|...πρό]το γραμματεύοντος. l. 20: *IG* i² restored [στέλ|λεν ἔ ῥέ]τορ to avoid Kirchhoff's *phé*]τορ; the spelling ῥρέ]τορ creates no problem. ll. 25–6: περὶ?| σφῶν δέ]ονται *IG* i²; ?*he*αυ|τοῖς δέ]ονται. Much of B (ll. 31–7 and part of 38) has now been lost.